# Eulogikon

Ancient Greek Texts — Free & Open source

eul_wid: mcq-aa

*Φίλων ὁ Ἀλεξανδρεύς* · Philo of Alexandria the Elder

# Fragments on Abraham and Patriarchs

*Ἀποσπάσματα περὶ Ἀβραὰμ καὶ τῶν Πατριαρχῶν*

**Period:** *Ἑλληνιστική* Hellenistic
**Dialect:** *Κοινὴ φιλοσοφική* Philosophical Koine
**Domain:** *Ἔπος* Epic
**Format:** *Ἔμμετρος* Verse

book 681.1 ἔκλυον ἀρχεγόνοισι τὸ μυρίον ὥς
book 681.2 ποτε θεσμοῖς[ln_1] 〈〉 Ἀβραὰμ κλυτοηχές, ὑπέρτερον ἅμματι δεσμῶν, παμφαὲς ἐπλήμμυρε μεγαυχήτοισι λογισμοῖς θειοφιλῆ θέλγηθρα. λιπόντι γὰρ ἀγλαὸν ἕρκος[ln_5]αἰνοφύτων ἔκκαυμα βριήπυος αἰνετὸς ἴσχων ἀθάνατον
book 681.3 ποίησεν ἑὴν φάτιν· ἐξέτι κείνου ἔκγονος αἰνογόνοιο
book 681.4 πολύμνιον ἔλλαχε κῦδος.
book 682.1 ἄρτι
book 682.2 χερὸς θνητοῖο ξιφηφόρον ἐντύνοντος λήμματι καὶ σφαράγοιο
book 682.3 παρακλιδὸν ἀθροισθέντος· ἀλλ’ ὁ μὲν ἐν
book 682.4 χείρεσσι κερασφόρον ὤπασε κριόν.
book 683 νηχομένο 〈ι〉 ς δ’ ἐφύπερθε τὸ θαμβηέστατον ἄλλο δέρκηθρον· συναοιδὰ μεγιστούχοιο λοετροῖς ῥεύματος ἐμπίπλησι βαθὺν ῥόον ἐξανιείσης.
book 684.1 ῥεῦμα γὰρ ὑψιφάεινον ἐν ὑετίοις νιφετοῖσιν ἱέμενον
book 684.2 πολυγηθὲς ὑπαὶ πύργοις
book 684.3 συνόροισιν
book 684.4 στρωφᾶται, καὶ ξηρὰ πέδῳ κεκονιμένα κρήνης
book 684.5 τηλεφαῆ δείκνυσιν ὑπέρτατα θάμβεα λαῶν
book 685.1 αἰπὺ δ’ ἄρ’ ἐκπτύουσι διὰ χθονὸς ὑδροχόοισι
book 685.2 σωλῆνες
book 686.1 [ln_1]τοῖσιν ἕδος μακαριστὸν ὅλης μέγας ἔκτισεν ἄκτωρ ὕψιστος καὶ πρόσθεν ἀπ’ Ἀβραάμοιο καὶ Ἰσάκ Ἰακώβ 〈τ’〉 εὐτέκνοιο, τόθεν Ἰωσήφ, ὃς ὀνείρων θεσπιστὴς
book 686.2 σκηπτούχῳ ἐν Αἰγύπτοιο θρόνοισιν[ln_5]δινεύσας λαθραῖα
book 686.3 χρόνου
book 686.4 πλημμυρίδι μοίρης.